www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# Ἀκολουθία τῆς Θεόφρονος Ἁγίας Χλόης τῆς Κορινθίας συγχρόνου τῶν Ἁγίων Ἀποστόλων

Ψαλλομένη τῇ Κυριακῇ τῆς Σταυροπροσκυνήσεως.

Ποίημα Γερασίμου Μικραγιαννανίτου.

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τῆς Ἁγίας.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πίστεως τὸ φῶς τῆς τοῦ Χριστοῦ, λάμψαν Ἀποστόλων τῶν θείων, ἐν σοὶ κηρύγματι, ἔργων τῶν τῆς χάριτος, καὶ ἐναρέτου ζωῆς, φωτοφόρον λαμπάδα σε, Χλόη μακαρία, ἐν Κορίνθῳ ἔδειξεν, ἠθῶν σεμνότητι. Ὅθεν τὴν ἁγίαν σου μνήμην, σήμερον τελοῦντες ὑμνοῦμεν, τὸν σὲ θείας δόξης ἀξιώσαντα.

Τύπος ἐναρέτου ἀγωγῆς, ἐν τῇ Ἐκκλησίᾳ Κορίνθου, Χλόη θεόπνευστε, οἷα κοινωνήσασα ζωῆς καὶ χάριτος, καὶ πλουσίας χρηστότητος, τοῦ οὐρανοφοίτου, Παύλου ἐχρημάτισας, ψυχῆς θερμότητι· τούτου γὰρ αὐτόπτις ὀφθεῖσα, τῆς υἱοθεσίας τῆς θείας, μέτοχος ἐγένου θείῳ Πνεύματι.

Γέρας ἐκομίσω θαυμαστόν, καὶ ὑπερβαλλούσης εὐκλείας, Χλόη ἠξίωσαι, πίστει ὁμιλήσασα, τοῖς Μαθηταῖς τοῦ Χριστοῦ, καὶ Κυρίου μαθήτρια, σεμνὴ γενομένη, τοῦτον ἐθεράπευσας, γνώμης εὐθύτητι. Ὅθεν ἐπαξίως τῆς ἄνω, μέτοχος λαμπρότητος ὤφθης, εὐσεβῶς τὸν βίον σου ἀνύσασα.

Προσόμοια ἕτερα.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἀποστόλων συνόμιλος, συνεργὸς καὶ διάκονος, τῷ Χριστῷ πιστεύ-

www.tezaurliturgic.ro

σασα Χλόη γέγονας, καὶ τοῖς αὐτῶν θείοις ἴχνεσι, τὸν βίον ῥυθμίζουσα, ἐπληρώθης φωτισμοῦ, καὶ τὸ μέγα μυστήριον, τῆς σαρκώσεως, τοῦ Σωτῆρος θεόφρον μυηθεῖσα, θείῳ στόματι ἀνύμνεις, αὐτοῦ τὸ πλούσιον ἔλεος.

Φερωνύμως ἐξήνθησας, ὥσπερ χλόην οὐράνιον, τοῦ σεπτοῦ κηρύγματος Χλόη ἔνδοξε, καρποφορίαν τὴν κρείττονα, ἐλαία ὡς εὔκαρπος, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, καὶ πιστῶν τὴν διάνοιαν, τρέφεις πάντοτε, τοῖς καρποῖς τῶν ἁγίων ἀρετῶν σου, καὶ ἀγάπης τῆς τελείας, ταῖς διαδόσεσι πάνσεμνε.

Καὶ ψυχὴν καὶ διάνοιαν, τῷ Σωτῆρι ἀνέθηκας, καὶ πάντα τὸν οἶκόν σου Χλόη πάνσεμνε, αὐτοῦ τῷ θείῳ θελήματι, πάντα διεξάγουσα, καὶ τὴν δόξαν τὴν αὐτοῦ, καὶ τὸ ἄπειρόν ἔλεος, μεγαλύνουσα, δι' οὗ σέσωσται κόσμος τῆς ἀπάτης, καὶ τῆς πάλαι εὐκληρίας, οἱ γηγενεῖς ἠξιώθημεν.

**Δόξα. Ἦχος δ΄.**

Ἀποστολικῇ σεμνυνομένη ἐγγύτητι, Εὐαγγελικὴν ζωὴν ἠγάπησας, ὑπεραρθεῖσα τῆς ὕλης θείῳ πόθῳ, Χλόη παμμακάριστε· τὸν γὰρ οὐράνιον σπόρον, ὡς πίων γῆ δεξαμένη, εἰς ἑκατὸν ἐκαρποφόρησας, τῆς ἐν Χριστῷ λαμπρότητος τὰς χάριτας, ὁλοτρόπως ἀναγομένη τοῖς κρείττοσι· διὸ ἡ ἐν Κορίνθῳ Ἐκκλησία τοῦ Θεοῦ, τὰ σὰ γεραίρει προτερήματα, τὴν ἁγίαν ἄγουσα μνήμην σου, ὡς πνευματικῆς θυμηδίας ἔμπλεων. Ἀλλ' αἴτει δεόμεθα, εἰρήνην ἡμῖν καὶ φωτισμόν, καὶ πταισμάτων ἄφεσιν.

**Καὶ νῦν. Ἦχος ὁ αὐτός.**

Ὁ διὰ σὲ θεοπάτωρ Προφήτης Δαβίδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι· παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου. Σὲ γὰρ Μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ, ἐνανθρωπῆσαι εὐδοκήσας Θεός, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρών, πρόβατον τοῖς ὤμοις ἀναλαβών, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρανίαις συνάψῃ Δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν κόσμον, Χριστὸς ὁ ἔχων, τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Εἴσοδος. Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας. καὶ τὰ Ἀναγνώσματα.**

www.tezaurliturgic.ro

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**

**(Κεφαλ. λα΄. 19 - 26).**

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; . . .

(Ὅρα εἰς σελίδα 70 τοῦ παρόντος)

**Καθολικῆς Α΄. Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα.**

**(Κεφ. δ΄. 11).**

Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν αὐτοῦ Σωτῆρα τοῦ κόσμου. Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστί· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ.

**Καθολικῆς Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.**

**(Κεφ. α΄. 13).**

Ἀγαπητοί, ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, ἀλλὰ κατὰ τὸν καλέσαντα ἡμᾶς Ἅγιον, καὶ αὐτοὶ ἅγιοι, ἐν πάσῃ ἀναστροφῇ γενήθητε, διότι γέγραπται· Ἅγιοι γίνεσθε, ὅτι ἐγὼ Ἅγιός εἰμι. Καὶ εἰ Πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες, ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ.

**Εἰς τὴν Λιτήν, Ἰδιόμελα.**

**Ἦχος α΄.**

Ἐν πολλῇ φρονήσει, τὰ ὦτα τῆς ψυχῆς ἀνοίξασα, τὸν λόγον τῆς χάριτος ἐδέξω, Χλόη θεόληπτε· καὶ εἰς ἔργον ἄγουσα, ὃ ἐν ῥήμασιν ἐμυήθης, τῶν ἀρετῶν τὰ ἀκροθίνια, ὡς δῶρον εὐπρόσδεκτον, καὶ προ-

www.tezaurliturgic.ro

σφορὰν τελείαν, τῷ Σωτῆρι προσήγαγες· καὶ πᾶσιν ὑπέδειξας, τῆς εὐσεβείας τὸν πλοῦτον, καταλλήλῳ πολιτείᾳ δοξάζουσα Χριστόν, τὸν παρέχοντα διὰ σοῦ, ἡμῖν τὸ θεῖον ἔλεος.

**Ἦχος β΄.**

Τῆς δωρεᾶς τοῦ Παρακλήτου, οἶκον νοητόν, τὴν ψυχὴν τελέσασα, ἐφέσει τοῦ κρείττονος, Χλόη θεόληπτε, θεοπρεπῶς τὸν σὸν οἶκον, καὶ ἐν φόβῳ θείῳ διήγαγες, ἀνακαινισθεῖσα δι' ὕδατος καὶ Πνεύματος· ἐν γὰρ καινότητι ζωῆς πολιτεύεσθαι, τοὺς σοὺς οἰκείους ἐπαίδευσας, ὡς ἂν καινὴ κτίσις γένωνται, τῷ ἐκ φθορᾶς ἡμᾶς ἀπαλλάξαντι, καὶ υἱοθεσίας θείας ἀξιώσαντι· ὅλην γὰρ δέδωκας σαυτήν, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, καὶ προθύμως διηκόνησας, τοῖς Ἀποστόλοις αὐτοῦ, μεθ' ὧν ἀεὶ πρέσβευε, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

**Ἦχος γ΄.**

Θείοις ἔργοις διαλάμπουσα, τῷ Σωτῆρι ἀμέμπτως ἐλάτρευσας, ἐν ἀληθείᾳ καὶ σεμνότητι, καὶ πάσῃ δικαιοσύνῃ, Χλόη ἀοίδιμε· ἁγίαν γὰρ ἀναστροφήν, καὶ ἐναρέτων τρόπων χρηστότητα, καὶ δαψιλοῦς ἀγάπης γεωργοῦσα ἐπίδειξιν, τῷ πρὸς τὸ θαυμαστὸν αὐτοῦ φῶς, καλέσαντί σε εὐηρέστησας· καὶ ζήλῳ εὐσεβείας πυρπολουμένη, πᾶσιν ἐπήρκεσας, ἐν λόγῳ ἐν ἔργῳ, καὶ πάσῃ παρακλήσει θεόπνευστε· καὶ ἀντάξιον ἀντιμισθίαν εὑροῦσα, πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

**Δόξα. Ἦχος β΄.**

Προσελθοῦσα Κυρίῳ, ὁλικῇ διαθέσει, πάντων τῶν ἐν κόσμῳ ἐξένωσαι, Χλόη ἀξιομακάριστε· τὸν γὰρ δι' ἄφατον ἔλεος, κενωθέντα μέχρι σαρκός, ὁλοτρόπως ἠγάπησας, μεμυσταγωγημένη, τὴν ἄκραν αὐτοῦ συγκατάβασιν· καὶ τὰς ἐντολὰς αὐτοῦ πληρώσασα, τοῦ παρ' αὐτοῦ πεπλήρωσαι φωτός, γυναικείαν ἀποθεμένη ἀσθένειαν· διὸ στέφανον δόξης, παρ' αὐτοῦ ἐδέξω ἐν οὐρανοῖς, Ἀγγέλοις συναφθεῖσα, καὶ πᾶσι πρεσβεύουσα, ἱλασμὸν καὶ μέγα ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.**

Τὴν πᾶσαν ἐλπίδα μου...

**Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.**

**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Ὡς χλόην εὐφραίνουσαν ψυχάς, Χλόη παμμακάριστε, τῆς εὐσε-

www.tezaurliturgic.ro

δείας ἐβλάστησας, τὴν θείαν ἄνθησιν, τοῦ Εὐαγγελίου, τὰ θεῖα διδάγματα, πιστῶς εἰσδεξαμένη θεόπνευστε, καὶ θείαις πράξεσι, τῷ Σωτῆρι εὐηρέστησας· ὃν δυσώπει, ὑπὲρ τῶν τιμώντων σε.

**Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου...**

Τῷ ζήλῳ τῆς πίστεως Χριστοῦ, τετρωμένη πάνσεμνε, ταῖς ἐναρέτοις σου πράξεσιν, αὐτὸν ἐδόξασας, παιδεύουσα πάντας, πρὸς θείαν ἀγάπησιν· διὸ ἡ Ἐκκλησία Κορίνθου σε, Χλόη πανεύφημε, μακαρίζει ἑορτάζουσα, τὴν ἁγίαν, καὶ πάνσεπτον μνήμην σου.

**Στίχ. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.**

Ἐξ οἴκου τοῦ σοῦ Ἀχαϊκός, Χλόη πανασίδιμε, καὶ Φουρτουνάτος οἱ ἔνδοξοι, εἰς πόλιν Ἔφεσον, Παύλῳ τῷ Ἁγίῳ, πίστει παρεγένοντο, τὰ βέλτιστα ἐκ τούτου αἰτούμενοι, οἷα διάκονοι, μετὰ σοῦ θεοειδέστατοι, διδαγμάτων, τῆς ἐνθέου πίστεως.

**Δόξα. Ἦχος πλ. β΄.**

Τῷ Σωτῆρι Χριστῷ, τὸν νοῦν πτερώσασα, ἐν μετοχῇ αὔλου φωταυγείας γέγονας, τῇ τοῦ βίου λαμπρότητι, Χλόη μακαρία· τῇ καθαρᾷ σου γὰρ ψυχῇ, προσχὼν ὁ Κύριος, Ἀποστολικῆς χάριτός σε ἔπλησε, καὶ σκεῦός σε εὔχρηστον, τῆς ἐν Κορίνθῳ Ἐκκλησίας, ἀνέδειξεν Ἁγίᾳ· ἁγίως γὰρ ἤνυσας τὴν ζωήν, καὶ τῶν Ἁγίων τὸν Ἅγιον, ἁγίοις ἔργοις ἐθεράπευσας· καὶ νῦν σὺν τοῖς Ἁγίοις πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Θεοτόκε σὺ εἶ ἄμπελος ἡ ἀληθινή...

**Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος πλ. Δ΄. Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος.***

Τοῦ Παύλου συνόμιλος γέγονας,
Κορίνθου κατέστης βλέμμα ὀξύ,
ἵνα μετάνοιαν κινήσῃς πταίσασι·
Καθικέτευε οὖν ὑπὲρ οἴκου σου,
Χλόη ἰσαπόστολε.

---

* Ποίημα Παντελεήμονος, Ἐπισκόπου Κορίνθου.

www.tezaurliturgic.ro

**Ἀπολυτίκιον ἕτερον.**

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Τῷ φέγγει τῆς χάριτος, καταυγασθεῖσα τὸν νοῦν, συνόμιλος πέφηνας, τῶν Ἀποστόλων Χριστοῦ, καρδίας εὐθύτητι. Ὅθεν ἡ ἐν Κορίνθῳ, Ἐκκλησία γεραίρει, Χλόη σε μακαρία, ὡς θεράπαιναν θείαν, πρεσβεύουσαν ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Θεοτοκίον.**

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον...

**Ἀπόλυσις.**

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Προσῆλθες τῷ Χριστῷ, μετὰ πόθου Ἁγία, καὶ τούτου τὰς σεπτάς, ἐντολὰς ἐκτελοῦσα, τοῖς θείοις διηκόνησας, Ἀποστόλοις θερμότατα· μεθ' ὧν πρέσβευε, ὑπὲρ ἡμῶν τῶν τιμώντων, Χλόη ἔνδοξε, τὴν σὴν ἐτήσιον μνήμην, καὶ ὕμνοις αἰνούντων σε.

**Θεοτοκίον.**

Πηγὴ ἡ διαυγής, ἡ πηγάζουσα κόσμῳ, τὸ ὕδωρ τῆς ζωῆς, σὺ ὑπάρχεις Παρθένε· διὸ κἀμὲ δρόσισον, ταῖς ῥοαῖς τοῦ ἐλέους σου, καὶ κατάσβεσον, τὴν τῶν παθῶν πικρὰν φλόγα, ἀναλίσκουσαν, τὰς τῆς ψυχῆς μου δυνάμεις, καὶ σῶσόν με Ἄχραντε.

**Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα.**

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Τὴν χλόην τῆς πίστεως, καλλιεργοῦσα σεμνή, τὴν χάριν τοῦ Πνεύματος, καρποφορεῖς τοῖς πιστοῖς, ζωῆς καθαρότητι· ὤφθης γὰρ εὐσεβείας, ὑποτύπωσις θεία, πᾶσι τοῖς ἐν Κορίνθῳ παμμακάριστε Χλόη· διὸ πανηγυρίζομεν, πόθῳ τὴν μνήμην σου.

**Θεοτοκίον.**

Τὸν πάντων ἐπέκεινα, καὶ Ποιητὴν τοῦ παντός, ἐν ὕλῃ τοῦ σώ-

www.tezaurliturgic.ro

ματος, δίχα τροπῆς καὶ φυρμοῦ, κυήσασα Πάναγνε, ἔλυσας τῆς κατάρας, τὸ ἀνθρώπινον γένος, νῦν δὲ ἡμᾶς λυτροῦσαι, ἀπὸ πάσης ἀνάγκης· διό σου τὰ μεγαλεῖα, Παρθένε δοξάζομεν.

**Μετὰ τὸν Πολυέλεον, Κάθισμα.**

**Ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Εὐσεβείας ἤθεσι κεκοσμημένη, Ἀποστόλων σύσκηνος, οἷα θεράπαινα Χριστοῦ, Χλόη ἐδείχθης καὶ μέτοχος, τῆς οὐρανίου ἐγένου λαμπρότητος.

**Θεοτοκίον.**

Ἐξ ἁγνῶν αἱμάτων σου, σεσαρκωμένος, προελθὼν ἀνέπλασεν, ὁ Θεὸς Λόγος τῶν βροτῶν, Θεογεννῆτορ τὸ φύραμα, καὶ εὐλογίας πηγήν σε ἀνέδειξε.

**Τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου καὶ τὸ Προκείμενον.**

Πεφυτευμένος ἐν οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

**Στίχ. Εἰς μνημόσυνον αἰώνιον...**

**Εὐαγγέλιον ζήτει τῇ 22ᾳ Ἰουλίου, τῆς Ἁγ. Μαγδαληνῆς.**

**Ὁ Ν΄. ψαλμός. Δόξα. Ταῖς τῆς σῆς Ἁγίας...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

**Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...**

Τοῦ ἀΰλου φωτός, τὰς ἀπορροίας δεχομένη, καὶ τὸν καρπὸν δρεπομένη τῆς αἰωνίου ζωῆς, Χλόη θεόληπτε, μὴ παύσῃ μνημονεύουσα δεόμεθα, τῶν ἐκ πόθου τελούντων τὴν μνήμην σου, ὡς ἂν εὕρωμεν ἔλεος, καὶ πταισμάτων ἄφεσιν.

**Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καὶ τῆς Ἁγίας οὗ ἡ ἀκροστιχίς.**

**«Τῇ Κορινθίᾳ μέλισμα Χλόῃ. Γερασίμου»**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.**

Ταύτην σου τὴν ἁγίαν, μνήμην τοὺς τελοῦντας Χλόη πάνσεμνε, φωτισμοῦ θείου πλῆσον, εὐπροσδέκτοις λιταῖς σου πρὸς Κύριον.

www.tezaurliturgic.ro

Ἤκουσας διδαγμάτων, Εὐαγγελικῶν Χλόη θεόληπτε, καὶ προσῆλθε προθύμως, τῷ τὴν σὴν καρδίαν καταυγάσαντι.

Κλέος ἄφθαρτον εὗρες, ὡς τῷ θείῳ Παύλῳ ὁμιλήσασα, καὶ πιστῶς μετασχοῦσα, ἐκ τῆς χάριτος τούτου πανεύφημε.

Θεοτοκίον.

Ὅλη λελαμπρυσμένη, ταῖς τῆς παρθενίας ὡραιότησι, τὸν Ὑπέρθεον Λόγον, τοῖς ἐν κόσμῳ Παρθένε προήγαγες.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Ῥήσεσι τῆς χάριτος, καταυγασθεῖσα φῶς ἔλαμψας, Χλόη σεμνή, ἔργων ἐναρέτων, ἐν Κορίνθῳ θεόπνευστε.

Ἴθυνας τὸν οἶκόν σου, Εὐαγγελίου διδάγμασι, Χλόη σεμνή, πρὸς τῆς εὐσεβείας, ἀληθῶς τὴν ἀκρότητα.

Νάμασι τοῦ Πνεύματος, καταρδευθεῖσα ἐξήνεγκας, Χλόη σεμνή, τὴν καρποφορίαν, πολιτείας τῆς κρείττονος.

Θεοτοκίον.

Θρόνος ὑψηλότατος, τοῦ Παντοκράτορος πέφηνας, παναληθῶς, τοῦτον Θεοτόκε, ταῖς χερσί σου κατέχουσα.

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Εὐσεβείας τὴν χάριν Χλόη ἐκλάμπουσα, σεαυτὴν κατευθύνεις ἀνενδοιάστῳ ψυχῇ, τῷ θελήματι Χριστοῦ νοΐ θεόφρονι, καὶ ἐναρέτως τὴν ζωήν, διανύσασα σεμνή, μετῆλθες ἀγαλλομένη, πρὸς τὴν ἀνέσπερον λῆξιν, ὑπὲρ ἡμῶν Θεῷ πρεσβεύουσα.

Θεοτοκίον.

Σαρκωθέντα ἀτρέπτως ὑπὲρ κατάληψιν, ἐξ ἁγνῆς σου νηδύος Λόγον τὸν ἄναρχον, ἀπεκύησας Ἁγνὴ Θεὸν καὶ ἄνθρωπον, ὃν καθικέτευε ἀεί, ἀπὸ πάσης συμφορᾶς, λυτροῦσθαι Θεογεννῆτορ, τοὺς ἀδιστάκτῳ καρδίᾳ, ὑπὸ τὴν σκέπην σου προστρέχοντας.

Ὠδὴ δ΄. Ἐξ ὄρους κατασκίου.

Ἴασιν σεμνή, καὶ λύτρωσιν εὑροῦσα, αἵματι Χριστοῦ, ἀρᾶς τῆς

www.tezaurliturgic.ro

ἀρχεγόνου, τῶν Ἀποστόλων τοῖς ἴχνεσιν ἐπορεύθης, Χλόη λιποῦσα τὰ ἐπίγεια.

Ἅπασαν σπουδήν, προθύμως ἐπεδείξω, Χλόη ἀληθῶς, Χριστῷ εὐαρεστῆσαι, καὶ τοὺς προσήκοντας νόμῳ θείῳ παιδεύεις, ὡς πεπλησμένη θείας χάριτος.

Μόνον τοῦ Χριστοῦ, τοὺς νόμους συντηροῦσα, ἅπασαν βουλήν, ἀνόμων ἀπεκρούσω, καὶ εὐνομίας καρποῦσθαι Χλόη παιδεύεις, τοὺς προσιόντας τὴν λαμπρότητα.

Θεοτοκίον.

Ἔχουσα πολλήν, Παρθένε παρρησίαν, πρὸς τὸν σὸν Υἱόν, καὶ πάντων Βασιλέα, αὐτὸν δυσώπει ῥυσθῆναι πάσης ἀνάγκης, τοὺς μεγαλύνοντας τὸν τόκον σου.

Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν σοι.

Λαμπὰς τῆς εὐσεβείας πολύφωτος, Χλόη σεμνή, ἐν Κορίνθῳ πέφηνας, τῇ τοῦ σοῦ βίου λαμπρότητι.

Ἱλέωσαι ἡμῖν ταῖς πρεσβείαις σου, Χλόη σεμνή, τὸν μόνον Φιλάνθρωπον, ἵνα ζωῆς θείας τύχωμεν.

Συνέσει διαλάμπουσα ἔνδοξε, συγκοινωνός, Ἀποστόλων γέγονας, Χλόη καὶ τούτων διάκονος.

Θεοτοκίον.

Μαρία Θεοτόκε Ἀνύμφευτε, διὰ παντός, τῷ Υἱῷ σου πρέσβευε, ὑπὲρ τῶν πίστει τιμώντων σε.

Ὠδὴ στ΄. Χιτῶνά μοι παράσχου.

Ἀνύστακτον τηροῦσα τὴν ψυχήν, τῷ φωτὶ τῆς πίστεως, Χλόη πανένδοξε, πρὸς τὸ φῶς τὸ νοητὸν κατεσκήνωσας.

Χριστῷ εὐαρεστοῦσα νουνεχῶς, ἐναρέτοις πράξεσι, στήλη θεόγλυπτος, εὐσεβείας ἐν Κορίνθῳ γεγένησαι.

Λυθεῖσα κοσμικῶν σεμνὴ δεσμῶν, τοῦ Χριστοῦ τῷ ἔρωτι, Χλόη συνδέδεσαι, Ἀποστόλων θεηγόρων διδάγμασι.

www.tezaurliturgic.ro

### Θεοτοκίον.

Ὁ λόγος τοῦ Θεοῦ σωματικῶς, ἐκ σοῦ προελήλυθε, καὶ κόσμον ἔσωσε, Θεοτόκε δι' ἀμέτρητον ἔλεος.

### Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Εὐαγγελίου τοῖς θείοις διδάγμασι, γεωργηθεῖσα ὡς γῆ Χλόη εὔκαρπος, Κυρίῳ προσήγαγες ἔνδοξε, δικαιοσύνης καρπὸν τὸν οὐράνιον· διὸ θείας δόξης τετύχηκας.

### Ὁ Οἶκος.

Τῆς ἀληθείας τῷ φωτί, τὸν νοῦν καταυγασθεῖσα, τῆς ματαιότητος σοφῶς, τὸν ζόφον ἀπεβάλου· καὶ δι' ὕδατος καὶ Πνεύματος, καινὴ κτίσις γεγονυῖα, τῷ Θεῷ, τῆς ἐν Χριστῷ ζωῆς, τὰς δωρεὰς ἐξήνθησας· τῆς ὕλης χωρίσασα σαυτήν, καὶ πρὸς τὴν ἄϋλον δόξαν καὶ χαρὰν ἀναγομένη, Χλόη παμμακάριστε· Ἀποστολικῆς γὰρ κοινωνίας καὶ ἀναστροφῆς ἠξίωσαι, ὡς τῶν Μαθητῶν τοῦ Σωτῆρος αὐτόπτης καὶ αὐτήκοος· καὶ καταλλήλως τῇ κλήσει πολιτευθεῖσα, καὶ ἀμέμπτως τῷ Βασιλεῖ τῆς κτίσεως δουλεύσασα, τῆς θείας δόξης τετύχηκας.

### Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς Ἁγίας Χλόης τῆς Κορινθίας, συγχρόνου οὔσης τῶν Ἁγίων Ἀποστόλων.

### Στίχοι.

Χλόη Χριστῷ ἤνθησε καρποὺς ὡρίμους.
Ὡς τὸ φῶς τῆς πίστεως λαμπρῶς ἐδέχθη.

Αὕτη ἦν Κορινθία, σύγχρονος τῶν Ἁγίων Ἀποστόλων. Δεξαμένη τὸ φῶς τοῦ Εὐαγγελίου, καὶ ὁλοψύχως πιστεύσασα Χριστῷ, ἐδούλευσε τῷ Κυρίῳ τῆς δόξης ἐναρέτῳ πολιτείᾳ καὶ Εὐαγγελικοῖς ἔργοις, καὶ πάσῃ ἄλλῃ ἀγαθοεργίᾳ, οἷα κοινωνὸς καὶ μέτοχος Ἀποστολικῆς συναυλίας καὶ ἀγωγῆς· καὶ καλῶς τελέσασα τὸν βίον, μετέστη πρὸς τὰς οὐρανίους σκηνώσεις, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων. Ταύτης μέμνηται ὁ οὐρανοβάμων Παῦλος ἐν Α' Κορινθ. α' 11.

Ταῖς αὐτῆς πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

### Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Ἤρθης οὐράνιον πρὸς ὕψος, ἀγαπήσεως τῆς θείας μακαρία, καὶ

www.tezaurliturgic.ro

ἡνώθης Χριστῷ, ἀναβοῶσα Χλόη· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Γνώμην θεόφρονα πλουτοῦσα, βίον ἔσχηκας κατάλληλον τῇ κλήσει, καὶ πολλῶν ἀρετῶν, ἐργάτις ὤφθης Χλόη, ἀναβοῶσα· Κύριε, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἔλαμψας Χλόη ἐν Κορίνθῳ, βίῳ κρείττονι καὶ ἤθεσιν ἀμέμπτοις, καὶ ἐβόας Χριστῷ, ἐν θεολήπτῳ γλώσσῃ· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ῥῦσαι με πάσης ἐπηρείας, καὶ κακώσεως ἐχθροῦ τοῦ παλαμναίου, Θεοτόκε Ἁγνή, καὶ φέγγει μετανοίας, τὰς ζοφερὰς διάλυσον, τοῦ νοός μου διαθέσεις.

Ὠδὴ η΄. Οἱ θεορρήμονες Παῖδες.

Ἄνω τὸ φρόνημα ἔχουσα τῆς ψυχῆς σου, τῶν ἐπὶ γῆς συρομένων, καταπεφρόνηκας ἔνδοξε· διὰ τοῦτο Ἀγγέλων, συνήφθης ταῖς τάξεσι.

Σάρκα λαβόντι πεπίστευκας τῷ Σωτῆρι, ὡς Ἀποστόλων τῶν θείων, Χλόη θεόφρον ἀκήκοας, καὶ αὐτῷ ὁλοκλήρως, σαυτὴν καθιέρωσας.

Ἰσχὺν λαβοῦσα θεόφρον παρὰ Κυρίου, τὰς ψυχικάς σου δυνάμεις, τούτου τῷ θείῳ θελήματι, καθυπέταξας Χλόη, αὐτὸν μεγαλύνουσα.

Θεοτοκίον.

Μὴ διαλίπῃς παρέχουσα Θεομῆτορ, οἷα πηγὴ συμπαθείας, ἡμῖν ἐξ ὕψους βοήθειαν, ὡς ἂν τοῦ πολεμίου, τὰς πάγας ἐκφύγωμεν.

Ὠδὴ θ΄. Ὄρους παρῆλθες.

Ὅλον τὸν βίον σου πάνσεμνε, ἀγαθοεργίαις ἐμφρόνως ἐτέλεσας· ἐντεῦθεν τὰς πλουσίας ἀντιμισθίας σου, παρὰ Χριστοῦ κομίζῃ, Χλόη ζωὴν εἰς ἀτελεύτητον.

Ὑπὸ τῆς ἄνωθεν χάριτος, κατευθυνομένη πρὸς ὅρμον οὐράνιον, ἀκλύστως προσωρμίσθης Χλόη θεόληπτε· καὶ νῦν αὐτοπροσώπως, ὁρᾷς τὸ κάλλος τὸ ἀμήχανον.

www.tezaurliturgic.ro

Ὑπὲρ ἡμῶν ἀεὶ πρέσβευε, Χλόη μακαρία τῶν εὐφημούντων σε, ὡς ἂν πάσης ῥυώμεθα περιστάσεως, καὶ ἄφεσιν πταισμάτων, παρὰ Κυρίου κομισώμεθα.

Θεοτοκίον.

Ὑψίστου ὤφθης ἀνάκτορον, τοῦτον Θεοτόκε μετὰ σώματος τέξασα· διὸ σωματικῶν με παθῶν ἐκκάθαρον, καὶ λάμπρυνον τὸν νοῦν μου, θείας ἀγάπης ταῖς ἐλλάμψεσι.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὅλον τὸν πόθον Χλόη, ἀνέτεινας πρὸς τὸν Χριστόν, ὡς ἐν καρδίᾳ ἐδέξω, τῆς θείας χάριτος τὸ φῶς· διό σε ὁ Ζωοδότης, δόξῃ οἰκείᾳ δοξάζει.

Θεοτοκίον.

Ὁ τῶν ἁπάντων Κτίστης, τεχθεὶς ἐκ σοῦ σωματικῶς, προστάτιν σε τῶν ἀνθρώπων, ὡς σωτηρίας ἀπαρχήν, ἀνέδειξε Θεοτόκε· διό σε πάντες ὑμνοῦμεν.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τῆς Ἁγίας.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν Ἀποστόλων τὸν λόγον Χλόη Θεόληπτε, ἐν τῇ ψυχῇ δεχθεῖσα, ὡς συνέσεως πλήρης, προσῆλθες τῷ Κυρίῳ πίστει θερμῇ, καὶ αὐτῷ εὐηρέστησας, δικαιοσύνης τοῖς ἔργοις καὶ πρὸς ζωήν, τὴν ἀγήρω μεταβέβηκας.

Τῇ φερωνύμῳ σου κλήσει τρόπον κατάλληλον, θεόφρον ἐπεδείξω, εὐθυτάτῃ καρδίᾳ· ζωῆς γὰρ μακαρίας τὰς ἀρετάς, θεοφρόνως ἐβλάστησας, δι' ὧν ῥυθμίζεις πρὸς γνῶσιν τὴν ἀληθῆ, τοὺς ἐν πίστει προσιόντας σοι.

Τῶν μαθητῶν τοῦ Σωτῆρος Χλόη θεόληπτε, ἐγγύτητι τῇ θείᾳ, καὶ λοιπῇ κοινωνίᾳ, τὰ θεῖα μυουμένη πίστει θερμῇ, καὶ πρὸς δόξαν τὴν ἄρρητον, ἀναγομένη ἐδέξω παρὰ Χριστοῦ, ἀφθαρσίας τὸ διάδημα.

Τῆς εὐσεβείας τὸν δρόμον καλῶς ἀνύσασα, καὶ ἐναρέτων ἔργων,

www.tezaurliturgic.ro

συγκομίσασα πλοῦτον, μετέστης εὐφροσύνως πρὸς τὴν ζωήν, τὴν ἀγήρω καὶ ἄληκτον, ὑπὲρ ἡμῶν δυσωποῦσα Χλόη Χριστόν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. δ΄.**

Λαμπρυνθεῖσα τῇ χάριτι, τοῖς ἔργοις τῆς πίστεως ἐδόξασας, τὸν Κύριον τῆς δόξης, Χλόη πανένδοξε· ἀνενδότῳ γὰρ ψυχῇ, αὐτῷ ἑπομένη, εὐσεβείας ὑπόδειγμα, τὴν σὴν ζωὴν ἔλιπες, τῇ Ἐκκλησίᾳ θεόληπτε, Εὐαγγελικῶς πολιτευσαμένη. Καὶ νῦν τῷ φωτί, τοῦ προσώπου αὐτοῦ σκηνώσασα, καὶ τῶν ὑπὲρ νοῦν ἀξιουμένη, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

**Καὶ νῦν. Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι...

**Δοξολογία μεγάλη καὶ ἀπόλυσις.**

## ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

**Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τῆς Ἁγίας ἡ γ΄ καὶ στ΄ ᾠδή. Ἀπόστολον ζήτει τῇ ὀγδόῃ Κυριακῇ, Πρὸς Κορινθίους. Εὐαγγέλιον τῆς 13ης Ὀκτωβρίου.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...**

**Μεγαλυνάριον.**

Χαίρουσα προσέδραμες τῷ Χριστῷ, Χλόη μακαρία, Ἀποστόλων τῇ διδαχῇ· ὅθεν θεοφρόνως, ἐν γῇ πολιτευθεῖσα, τῆς οὐρανίου δόξης, μέτοχος γέγονας.

**Δίστιχον.**

**Χλόης νοητῆς ἀξίωσόν με Χλόη**
**Γεράσιμον μέλψαντα τὰς ἀρετάς σου.**